ὄπφιν τριήρεος ἐν πολυζύγωι τοίχωι
ἀπ' ἐμβόλου φεύγοντα πρὸς κυβερνήτην·
αὕτη γὰρ ἔσται συμφορή τε καὶ κληδών,
νικύρτα καὶ σάβαννι, τῶι κυβερνήτηι,
ἣν αὐτὸν ὄπφις τὠντικνήμιον δάκηι.

Id. *exeg. Il. A* 273 (Masson, *Parola del Passato* 5, 1950, 74 sq.); in Lyc. 425 (p. 156. 22 Scheer). 5 cf. Hesych. νικύρτας· δουλέκδουλος. 6 Tzetz. in Lyc. 234 (p. 107. 20)

**29a** Phot. *lex.* ined. s.v. χύτραν

ἐβορβόρυζε δ' ὥστε κύθρος ἔτνεος.

**30** Tzetz. schol. π. μέτρων, *An. Ox.* iii. 308

οὔ μοι δικαίως μοιχὸς ἁλῶναι δοκεῖ
Κριτίης ὁ Χῖος ἐν †τῶι κατωτικῶι† δούμωι.

**32**

Ἑρμῆ, φίλ' Ἑρμῆ, Μαιαδεῦ, Κυλλήνιε,
ἐπεύχομαί τοι, κάρτα γὰρ κακῶς ῥιγῶ
καὶ βαμβαλύζω...
δὸς χλαῖναν Ἱππώνακτι καὶ κυπασσίσκον
καὶ σαμβαλίσκα κἀσκερίσκα καὶ χρυσοῦ
στατῆρας ἑξήκοντα τοὐτέρου τοίχου.